οἱ δὲ τῶν ἀνδρῶν, ἄπεπτοι; κς Διὰ τί ἐν τῷ θέρει οἱ μὲν ἄνδρες, ἧττον δύνανται ἀφροδισιάζειν· αἱ δὲ γυναῖκες, μᾶλλον, καθάπερ καὶ ὁ ποιητὴς λέγει ἐπὶ τοῦ σκολύμου,] Μαχλόταται δὲ γυναῖκες, ἀφαυρότατοι δέ τε ἄνδρες. πότερον ὅτι οἱ ὄρχεις καθίενται μᾶλλον, ἢ ἐν τῷ χειμῶνι; ἀνάγκη δέ, εἰ μέλλει ἀφροδισιάζειν, ἀνασπᾶσθαι. ἢ ὅτι αἱ θερμαὶ φύσεις ἐν τῷ θέρει συμπίπτουσιν, ὑπερβάλλοντος δὴ τοῦ θερμοῦ [αἱ δὲ ψυχραὶ, θάλλουσιν; ἔστι δὲ ὁ μὲν ἀνὴρ, ξηρὸς καὶ θερμός·] ἡ δὲ γυνή, ψυχρὰ καὶ ὑγρά. τοῦ μὲν οὖν ἀνδρὸς ἠμαύρωται ἡ δύναμις· τῆς δέ, θάλλει, ἐπανισουμένη τῷ ἐναντίῳ. κζ Διὰ τί ἔνιοι ἀφροδισιαζόμενοι χαίρουσι· καὶ οἱ μέν, ἅμα δρῶντες· οἱ δ᾽, οὔ; ἢ ὅτι ἐστὶν ἑκάστῳ περιττώματι τόπος, εἰς ὃν πέφυκεν ἀποκρίνεσθαι κατὰ φύσιν· καὶ πόνου γινομένου, τὸ πνεῦμα ἐξιὸν οἰδεῖν ποιεῖ, καὶ συνεκκρίνει αὐτήν; οἷον τὸ μὲν οὖρον, εἰς κύστιν· ἡ δ᾽ ἐξικμασμένη τροφή, εἰς κοιλίαν· τὸ δὲ δάκρυον, εἰς ὄμματα· μύξα δ᾽, εἰς μυκτῆρας· αἷμα δέ, εἰς φλέβας· ὁμοίως δὴ τούτοις καὶ ἡ γονὴ εἰς ὄρχεις καὶ αἰδοῖα. οἷς δὲ οἱ πόροι μὴ κατὰ φύσιν ἔχουσιν, ἀλλ᾽ ἢ διὰ τὸ μὴ ἀποτυφλωθῆναι τοὺς εἰς τὸ αἰδοῖον, (οἷον συμβαίνει τοῖς εὐνούχοις καὶ εὐνουχίαις) ἢ καὶ ἄλλως, εἰς τὴν ἕδραν συρρεῖ ἡ τοιαύτη ἰκμάς. καὶ γὰρ διεξέρχεται ταύτῃ. σημεῖον δ᾽ ἐν τῇ συνουσίᾳ, ἡ συναγωγὴ τοῦ τοιούτου τόπου, καὶ ἡ σύντηξις τῶν περὶ τὴν ἕδραν. ἐὰν οὖν ὑπερβάλλῃ τις τῇ λαγνείᾳ, τούτοις ἐνταῦθα συνέρχεται· ὥστε ὅταν ἡ ἐπιθυμία γένηται, τότ᾽ ἐπιθυμεῖ τῆς τρίψεως εἰς ὃ συλλέγεται. ἡ δ᾽ ἐπιθυμία, καὶ ἀπὸ τῶν σιτίων καὶ διανοίας γίνεται. ὅταν γὰρ κινηθῇ ὑφ᾽ ὁτουοῦν, ἐνταῦθα γὰρ τὸ πνεῦμα συντρέχει, καὶ τὸ τοιοῦτο περίττωμα συρρεῖ οὗ πέφυκε. κἂν μὲν λεπτὸν ᾖ πνευματῶδες, τούτου ἐξελθόντος, ὥσπερ αἱ συντάσεις τοῖς παισὶ καὶ τοῖς ἐν ἡλικίᾳ, ἐνίοτε οὐθενὸς ὑγροῦ ἐκκριθέντος, παύονται. ὅταν δὲ κατασβεσθῇ τὸ ὑγρόν, ἐὰν μηδ᾽ ἕτερον τούτων πάθῃ, ἐπιθυμεῖ ἕως ἂν πλειόνων συμβῇ. οἱ δὲ φύσει θηλυδρίαι, οὕτω συνεστᾶσιν, ὥστε ἐκεῖ μὲν μὴ ἐκκρίνεσθαι, ἢ ὀλίγον, ὅπερ τοῖς ἔχουσι κατὰ φύσιν ἐκκρίνεται,

A virorum autem nequit? 26 Cur per æstatem viri minus, mulieres magis concumbere valeant? quod Hesiodus quoque poëta inquit:

*Fœmineo venus est vsu magis effera sexu:*
*Mitior illa viris, & sæpe accita relanguet.*

Vtrum quòd testes eo tempore magis demittuntur, & flaccent, quàm per hyemem, cùm qui concubiturus est, retrahat, ac suscipiat B illos, necesse sit. An quoniam naturæ calidæ præ nimio calore æstiui temporis æstuant, collabuntúrque: frigidæ verò refouentur, & vigent. Est autem vir calidus & siccus, mulier frigida, humidáque: ergo virorum tunc vires infirmantur, mulierum corroborantur, & vigent per compensationem qualitatis contrariæ. 27 Cur nonnulli rem veneream C cum voluptate patiantur, & alij vel ipsi agere cupiant, alij pati tantummodo gestiant? An quòd excrementis singulis locus determinatus à Natura est, in quem instituto secerni naturali debeat, solicitáque natura spiritus excurrens tumorem admouet, excrementúmque vnà extrudere solet. Verbi causa, vrinam in vesicam, cibum consumptum in aluum, lacrymam in oculos, mucorem in nares, D sanguinem in venas Naturæ deduci placuit: his autem proximè genituram quoque in testes, & penem deferri constitutum est. Quibus itaque meatus habitu suo naturali priuantur, vel quia obcæcati sunt, qui ad penem tendant (quod spadonibus, hísque similibus euenit, vel etiam aliis de causis) his talis humor in sedem confluit, quippe qui hæc transmeare soleat: quod eius loci contractio in coeundo, & E partium sedi appositarum consumptio indicant. Qui si admodum semine genitali abundant, excrementum illud largè in eum locum se colligit. Itaque cùm excitata cupiditas est, attritum pars ea desiderat, in quam confluit excrementum. Cupiditas autem excitari tum à cibo, tum ab imaginatione potest. Cùm enim alterutra de causa libido commota est, spiritus eodem concurrit, & genus id excrementi cōfluit, F quò secedere notum est. Et si tenue, spirituosúmve est, cùm difflatum id fuerit, requiescunt: quemadmodum pueris, & adolescentibus interdum nullo secreto humore cessare tentigines possunt. Sed si crassum, corpulentúmq. est, nisi extruso quiescere nequeunt. Quòd si neutrum eorum accidit, cupiunt quousq. alterutrū accidat. Quorum verò natura mollis, & fœminea est, ita ij constant, vt genitura vel nulla, vel minima cōueniat, quò illorum secernitur, qui præditi natura integra sunt,